ΕΙΣ ΜΝΗΜΗΝ

# ΣΠΥΡΙΔΩΝΟΣ ΛΑΜΠΡΟΥ

ΕΝ ΑΘΗΝΑΙΣ 1935

ΕΠΙΤΡΟΠΗ ΕΚΔΟΣΕΩΣ ΤΩΝ ΚΑΤΑΛΟΙΠΩΝ
ΣΠΥΡΙΔΩΝΟΣ ΛΑΜΠΡΟΥ

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ
ΤΟΜΕΑΣ [illegible] ΦΙΛΟΣΟΦΙΑΣ
ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ [illegible] ΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘ. [illegible] ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π.
ΙΩΑΝΝΙΝΑ 2006

## 69. Κ. Ι. ΔΥΟΒΟΥΝΙΩΤΟΥ

# ΟΝΟΜΑΤΟΜΑΝΤΕΙΑ

Ὁ P. Tannery ἐν «Notices et extraits» [1], ὑπὸ τὴν ἐπιγραφὴν «Notices sur des fragments d'onomatomancie arithmétique» ἐξετάζων τὰ τῆς ἀριθμητικῆς ὀνοματομαντείας ἔχει ἐκδώσει διάφορα σχετικὰ κείμενα ἐκ χειρογράφων κωδίκων τῆς βιβλιοθήκης τῶν Παρισίων [2] ἐν οἷς καὶ τὸ φέρον ἐπιγραφὴν «Πυθαγόρας Τηλαυγεῖ χαίρειν», ἐπὶ τῇ βάσει τῶν κωδίκων 2009, 2256 καὶ 2419 τῆς βιβλιοθήκης τῶν Παρισίων καὶ τῆς ἐν μέρει γενομένης ἐκδόσεως τοῦ κειμένου τούτου ὑπὸ τοῦ Iriarte [3] παραθέτων ἐν ὑποσημειώσεσι τὰς διαφόρους τούτων γραφάς [4].

Ἔν τινι χειρογράφῳ δωρηθέντι πρό τινος ὑπὸ τοῦ Σ. Θεσσαλιώτιδος καὶ Φαναριοφερσάλων κ. Ἰεζεκιὴλ εἰς τὸ σπουδαστήριον τῆς θεολογικῆς σχολῆς τοῦ Πανεπιστημίου Ἀθηνῶν καὶ περιγραφέντι ὑπ' ἐμοῦ ἐν τῷ περιοδικῷ «Ἐκκλησία» [5] εὕρηται μεταξὺ ἄλλων καὶ ἡ ἐπιστολὴ αὕτη τοῦ Πυθαγόρου πρὸς τὸν Τηλαυγῆ [6]. Συγκρίνοντες τὸ κείμενον τοῦ ἡμετέρου χειρογράφου πρὸς τὸ ὑπὸ τοῦ Tannery ἐκδοθὲν εὑρίσκομεν ὅτι τὸ ἡμέτερον κείμενον καὶ πληρέστερον [7] εἶναι καὶ ὀρθοτέρας ἐνιαχοῦ ἔχει γραφάς. Οὕτως ἐχόντων τῶν πραγμάτων ἡ ἔκδοσις τοῦ ἡμετέρου κειμένου εἶναι ἐπιβεβλημένη τοσούτῳ μᾶλλον καθ' ὅσον τὰ ἀφορῶντα εἰς τὴν ὀνοματομαντείαν δὲν ἔχουσιν ἔτι ἀρκούντως διευκρινισθῇ καὶ διαφωτισθῇ. Ἐκδίδων κατωτέρω τὸ κείμενον τῆς ἐπιστολῆς πρὸς τὸν Τηλαυγῆ παρατηρῶ ὅτι ἀρκοῦντα ὀρθογραφικὰ σφάλματα τοῦ κειμένου διώρθωσα παραλείψας τὴν ἀναγραφὴν τούτων ὡς περιττήν. Τοὐναντίον ἐν τῇ πλινθίδι οὐδεμίαν διόρθωσιν ἐπέφερα, διότι

---

1 Τόμ. 32, 2 σ. 231-260.

2 Τῶν ὑπ' ἀριθμὸν 2009, 2256, 2419 καὶ 2426.

3 Ἐκ τοῦ κώδικος 84 τῆς βιβλιοθήκης τῆς Μαδρίτης (Regiae bibliothecae Matritensis cod. gr. mis. 1769 σ. 336).

4 Σελ. 248-252.

5 Ὑπ' ἀριθμὸν 42 τῆς 18 Ὀκτωβρίου τοῦ 1930.

6 Σελ. 400-405.

7 Ἐν τῷ ἡμετέρῳ κειμένῳ ἐφαρμόζεται ἡ ὀνοματομαντεία οὐ μόνον ἐπὶ «ἀντιδίκων καὶ μονομάχων ἢ ἄλλων τινῶν ὁποιωνδηποτοῦν ἀλλήλοις ἀντικαθισταμένων ἤτοι ὑπὲρ πολέμου ἢ ὑπὲρ πράγματος ἢ στεφάνου ἢ ἑτέρου τινός» ἀλλὰ καὶ ἐπὶ «τῶν κοινωνίαν συνιστώντων» «ἐπὶ ἀπολωλότος πράγματος» «ἐπὶ ἀποδημίας» καὶ «προτελευτῆς ἀδελφῶν». Τὸ πληρέστερον τοῦ ἡμετέρου κειμένου ἀποδεικνύει, ὡς νομίζω, τὴν μεταγενεστέραν σύστασιν αὐτοῦ διὰ τῆς συνενώσεως διαφόρων προγενεστέρων κειμένων.

αὕτη οὐδὲν σφάλμα περιέχει[1]. Ἀναφέρω δὲ τοῦτο διότι συνήθως ἐν τῇ πλινθίδι ἐξ ἀπροσεξίας τῶν ἀντιγραφέων εἰς τὰ πλεῖστα τῶν κειμένων ἔχουσι παρεισδύσει σφάλματα.

Ἄξιον σημειώσεως εἶναι ἐνταῦθα ὅτι ἐν τῇ ἀναγραφῇ τοῦ πυθμένος τῶν γραμμάτων τοῦ ἀλφαβήτου πρὸς εὕρεσιν τοῦ ὁποίου λεπτομερεῖς παρέχει ἡμῖν ὁδηγίας ὁ Ἱππόλυτος[2], τὸ ἡμέτερον κείμενον προχωρεῖ μέχρι τοῦ «τὸ δὲ ε καὶ ν καὶ φ πέντε» καὶ ἔπειτα προσθέτει «καὶ τὰ λοιπὰ καθεξῆς στοιχεῖα ὁμοίως ὡς ἐδιδάχθης». Ἐγείρεται ἑπομένως τὸ ἐρώτημα ποῦ ἐδιδάχθη ὁ ἀναγνώστης τὴν εὕρεσιν τοῦ πυθμένος τῶν λοιπῶν γραμμάτων τοῦ ἀλφαβήτου. Ἐκ τῶν παρὰ τῷ Ἱππολύτῳ ἀναπτυσσομένων γίνεται φανερὸν ὅτι ὁ πυθμὴν τοῦ ξ καὶ χ εἶναι 6, τοῦ ζ, ο καὶ ψ 7, τοῦ η, π καὶ ω 8 καὶ τοῦ θ 9, οὕτω δὲ συμπληροῦται ὁ πίναξ τοῦ πυθμένος τῶν λοιπῶν γραμμάτων τοῦ ἀλφαβήτου καὶ ἐν τοῖς κώδιξι 2256 καὶ 2419 τῆς βιβλιοθήκης τῶν Παρισίων, ἐν οἷς εὐθὺς μετὰ τὸ «τὸ δὲ ε καὶ ν καὶ φ ἀνὰ ε´» ἀκολουθεῖ «τὸ δὲ ξ καὶ χ ἀνὰ ἕξ, τὸ δὲ ζ καὶ ο καὶ ψ ἀνὰ ἑπτά, τὸ δὲ η καὶ π καὶ ω ἀνὰ ὀκτώ, τὸ δὲ θ ἀνὰ ἐννέα». Εἰς τὸ ἐρώτημα τοῦτο δύναται νὰ δοθῇ εὐκόλως ἡ ἀπάντησις, ἐὰν λάβῃ τις ὑπ' ὄψει ὅτι παρά τισι τῶν κωδίκων, τῶν περιεχόντων τὸ ἡμέτερον κείμενον, ἀντὶ τοῦ ἀμέσως μετὰ τὸ «τὸ δὲ ε, ν καὶ φ πέντε» γεγραμμένου «καὶ τὰ λοιπὰ καθεξῆς στοιχεῖα ὁμοίως ὡς ἐδιδάχθης» γέγραπται «καὶ ἐπὶ τῶν ἑξῆς γραμμάτων ἀκολούθως» ἐξ οὗ γίνεται δῆλον ὅτι ὁ ἀναγνώστης ἔχων ὑπ' ὄψει τὸν μέχρι τοῦ ε, ν καὶ φ προσδιορισμὸν τοῦ πυθμένος πρέπει μόνος νὰ εὕρῃ τὸν πυθμένα καὶ τῶν ὑπολοίπων τοῦ ἀλφαβήτου γραμμάτων. Ἐν τέλει παρατηρῶ ὅτι ἡ τελευταία λέξις τῆς ἐπιγραφῆς τοῦ κατωτέρω ἐκδιδομένου κειμένου «ἀσκολόγου» εἶναι καθαρῶς γεγραμμένη ἐν τῷ ἡμετέρῳ κειμένῳ καὶ διὰ τοῦτο ἀφῆκα αὐτήν, ἂν καὶ ἠδύνατο νὰ διορθωθῇ «ἀστρολόγου».

***Σύγγραμμα ἤτ' οὖν ποίημα φιλοσόφου καὶ ἀσκολόγου.***

Πυθαγόρας Τηλαυγεῖ χαίρειν

Πολλὰ παθὼν καὶ πολλὰ πειράσας ἀπέστειλά σοι τόδε τὸ βιβλίον ἔχον ἐν ἑαυτῷ πλινθίδα πάνυ χαριεστάτην· ἐντυχὼν γὰρ αὐτῇ διὰ τῶν γεγραμμένων γραμμάτων εἴσει τὰ ἐνεστῶτα καὶ γεγονότα καὶ αὖθις ἐσόμενα. Ὑπέταξα οὖν πλινθίδα

---

[1] Ὁ ἡμέτερος πίναξ συμφωνεῖ πρὸς τὸν δεύτερον ὑπὸ τοῦ Tannery παρατεθειμένον πίνακα (ἐν σελ. 252). Εἶναι φανερὸν ὅτι ὁ πίναξ οὗτος συγκρινόμενος πρὸς τὸν πρῶτον (ἔνθ' ἀν. σ. 251) εἶναι συντομώτερος καὶ ἑπομένως, ἂς εἴπωμεν οὕτως, ἐπιστημονικώτερον συντεταγμένος, ὡς παραλείπων πλεῖστα ἐκ τῶν προηγουμένων γνωστὰ καὶ ἑπομένως περιττά.

[2] Πρβλ. «Κατὰ πασῶν αἱρέσεων ἔλεγχος» βιβλ. 4, 13 ἑ. (ἔκδ. Wendland, Leipzig 1916). Ὡς ἐκ περισσοῦ παρατηρῶ ἐνταῦθα, ὅτι ὁ Ἱππόλυτος ὑποδεικνύει τὴν εὕρεσιν τοῦ πυθμένος καὶ τῶν μεγαλειτέρων τοῦ 810 ἀριθμῶν, καθ' ὅσον παρ' αὐτῷ πρόκειται περὶ μαντείας οὐ

δι᾽ ἐννεάδος καὶ δοκιμάζεται τὸν τρόπον τοῦτον. Λάβε κατὰ νοῦν τὰ ἐκ γενετῆς ὀνόματα τῶν ἀντιδίκων καὶ μονομάχων ἢ ἄλλων τινῶν ὁποιωνδηποτοῦν ἀλλήλοις ἀντικαθισταμένων ἤτοι ὑπὲρ πολέμου ἢ ὑπὲρ πράγματος ἢ στεφάνου ἢ ἑτέρου τινὸς καὶ ψήφισον αὐτὰ οὕτως. Τὸ μὲν α καὶ τὸ ι καὶ τὸ ρ ἕν, τὸ δὲ β καὶ κ καὶ σ δύο, τὸ δὲ γ καὶ λ καὶ τ τρία, τὸ δὲ δ καὶ μ καὶ υ τέσσαρα, τὸ δὲ ε καὶ ν καὶ φ πέντε καὶ τὰ λοιπὰ καθεξῆς στοιχεῖα ὁμοίως, ὡς ἐδιδάχθης. Μετὰ δὲ τὸ ψηφίσαι καὶ ποσῶσαι τὸν ἑκατέρου ὀνόματος ἀριθμὸν ὕφελε αὐτὰ εἰς ἐννεάδας, ὅσας δυνατὸν ἀφαιρεθῆναι, καὶ τὰ ἐγκαταλειφθέντα ἐννέα εἴτε πληρέστατα εἴτ᾽ ἐλάττονα τῶν ἐννέα σημειοῦ. Καὶ οὕτως ποιῶν ἐπ᾽ ἀμφοτέροις τοῖς ὀνόμασιν ὅλους τοὺς ἐναπομείναντας δύο ἀριθμοὺς ἐν τῇ ὑποκειμένῃ πλινθίδι θήσεις καὶ γνώσει, τὸν μέλλοντα νικᾶν. σεσάφηται γὰρ ἐν αὐτῇ τοῦτο ἐπὶ παντὸς ἀριθμοῦ τοῦ ἀπὸ ἐννεάδος μέχρι μονάδος. Παραδείγματος δὲ χάριν ἐκτεθείτω καὶ ψηφισθήτω ἡρώων μονομαχησάντων ὀνόματα. Ἕκτωρ· τὸ ε πέντε, τὸ κ δύο, τὸ τ τρία, τὸ ω ὀκτώ, τὸ ρ ἕν, καί εἰσι ιθ′. Πάτροκλος· τὸ π ὀκτώ, τὸ α ἕν, τὸ τ τρία, τὸ ρ ἕν, τὸ ο ἑπτά, τὸ κ δύο, τὸ λ τρία, τὸ ο ἑπτά, τὸ σ δύο καί εἰσι λδ′. Ὕφελε οὖν τὸ μὲν ιθ′ ἐπὶ τὰ ἐννέα καὶ ἀπολείπεται ἕν, τὸ δὲ λδ′ πάλιν ἐπὶ τὰ ἐννέα καὶ λείπεται ἑπτά. Καὶ λοιπὸν ἐλθὲ ἐπὶ τὴν ὑποκειμένην πλινθίδα καὶ εὑρήσεις ὅτι τὸ ἓν νικᾷ τὰ ἑπτά. Εἰ δὲ καὶ ψηφίζων πολλάκις ἑκάτερα τῶν ἀντιδικούντων τὰ ὀνόματα καὶ ὑφαιρῶν ἐπὶ τὰ ἐννέα καταλάβοις ἄμφω ἰσόψηφα, πάλιν καὶ ἐπὶ τούτων ἐν τῇ δηλωθείσῃ πλινθίδι εὑρήσεις τὴν τοῦ ἀμφιβόλου λύσιν. Εἰ μὲν γὰρ ἓν καὶ ἓν εἰσι τὰ ἰσάσαντα, ὁ ἐγκαλῶν ἐξ ἀμφοτέρων νικᾷ καὶ ὁ νεώτερος, εἰ δὲ δύο καὶ δύο ὁ ἐγκαλούμενος νικᾷ καὶ ὁ πρεσβύτερος καὶ ἁπλῶς καθόλου ἐπὶ τῶν ἰσοψήφων εὑρισκομένων, εἰ μὲν περισσοί εἰσιν οἱ ἰσάζοντες ἀριθμοὶ ὁ ἐγκαλῶν νικᾷ καὶ ὁ νεώτερος, εἰ δὲ ἄρτιοι, ὁ ἐγκαλούμενος νικᾷ καὶ ὁ πρεσβύτερος. Καὶ ἐπὶ τῶν κοινωνίαν δὲ συνιστώντων ἐφ᾽ οἱῳδήποτε πράγματι ὁμοίως ψηφίζων τῶν ἀνθρώπων τὰ ὀνόματα οἷον εὕρεις νικώμενον, ἐκείνῳ μάλιστα συμφέρει. Καὶ ἐπὶ ἀπολωλότος δὲ πράγματος, εἰ ζητήσεις εὑρεῖν τὸν κεκλοφότα, πάντων τῶν εἰς τοῦτο ὑπονοουμένων τὰ ὀνόματα ὁμοίως ψήφιζε ἀνὰ δύο συμβάλλων ἀλλήλοις καὶ παρεξετάζων καὶ ὃν μὲν εὕρεις νικώμενον ἀπολιμπάνων καὶ ἀπολύων, τὸν δὲ νικῶντα μετὰ ἑτέρου πάλιν συμψηφίζων, ἕως ἂν εἷς πάντων νικήσῃ καὶ αὐτὸς ἐστὶν ὁ κλέψας. Πάλιν δὲ καὶ ἐπὶ ἀποδημίας τινὸς φροντίζων ὀφείλεις ψηφίσαι κατὰ τὸν προρρηθέντα τρόπον τό τε ὄνομα τοῦ ἀποδημοῦντος καὶ τὸ ὄνομα τῆς πόλεως, ἐφ᾽ ἣν ἐκδημεῖ, κἂν μὲν εὕρῃς ἐν τῇ πλινθίδι τὸ τοῦ ἀποδημοῦντος ὄνομα νικώμενον, συμφέρει αὐτῷ, εἰ δὲ τὸ τῆς πόλεως μᾶλλον νικώμενον ἀσύμφορος ἡ ἀποδημία. Ὡσαύτως καὶ περὶ προτελευτῆς ἀδελφῶν ἀναζητῶν πάλιν ὁμοίως ψήφιζε ἀμφοτέρων τῶν ἀδελφῶν τὰ ὀνόματα καὶ ὃς ἂν εὑρεθείη νικῶν ἐκεῖνος μᾶλλον προτελευτᾷ.

Ἡ δὲ πλινθίς, ἐν ᾗ δηλοῦται σαφῶς ποῖος τῶν ἀπὸ ἐννεάδος μέχρι μονάδος ἀριθμῶν τὸν συγκρούοντα αὐτῷ νικᾷ ἢ καὶ αὐτὸς ἑαυτὸν αὕτη ἐστίν.

μόνον ἐκ τῶν ὀνομάτων ἀλλὰ καὶ ἐκ τῶν ἀριθμῶν. Εἶναι φανερὸν ὅτι ἐφ᾽ ὅσον πρόκειται ἐνταῦθα μόνον περὶ ὀνοματομαντείας ἀρκεῖ ἡ ὑπόδειξις τοῦ πυθμένος τῶν ἀριθμῶν μέχρι τοῦ 800 δηλαδὴ τοῦ ω.

Ε.Υ. Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

### *Ἡ πλινθίς.*

θ´ καὶ α´. Τὸ α´ νικᾷ.
η´ καὶ α´. Τὰ η´ νικῶσιν.
ζ´ καὶ α´. Τὸ α´ νικᾷ.
στ´ καὶ α´. Τὰ στ´ νικῶσιν.
ε´ καὶ α´. Τὸ α´ νικᾷ.
δ´ καὶ α´. Τὰ δ´ νικῶσιν.
γ´ καὶ α´. Τὸ α´ νικᾷ.
β´ καὶ α´. Τὰ β´ νικῶσιν.
α´ καὶ α´. Ὁ ἐγκαλῶν καὶ ὁ νεώτερος νικᾷ.

θ´ καὶ β´. Τὰ θ´ νικῶσιν.
η´ καὶ β´. Τὰ β´ νικῶσιν.
ζ´ καὶ β´. Τὰ ζ´ νικῶσιν.
στ´ καὶ β´. Τὰ β´ νικῶσιν.
ε´ καὶ β´. Τὰ ε´ νικῶσιν.
δ´ καὶ β´. Τὰ β´ νικῶσιν.
γ´ καὶ β´. Τὰ γ´ νικῶσιν.
β´ καὶ β´. Ὁ ἐγκαλούμενος καὶ ὁ πρεσβύτερος νικᾷ.

θ´ καὶ γ´. Τὰ γ´ νικῶσιν.
η´ καὶ γ´. Τὰ η´ νικῶσιν.
ζ´ καὶ γ´. Τὰ γ´ νικῶσιν.
στ´ καὶ γ´. Τὰ στ´ νικῶσιν.
ε´ καὶ γ´. Τὰ γ´ νικῶσιν.
δ´ καὶ γ´. Τὰ δ´ νικῶσιν.
γ´ καὶ γ´. Ὁ ἐγκαλῶν καὶ ὁ νεώτερος νικᾷ

θ´ καὶ δ´. Τὰ θ´ νικῶσιν.
η´ καὶ δ´. Τὰ δ´ νικῶσιν.
ζ´ καὶ δ´. Τὰ ζ´ νικῶσιν.
στ´ καὶ δ´. Τὰ δ´ νικῶσιν.
ε´ καὶ δ´. Τὰ ε´ νικῶσιν.
δ´ καὶ δ´. Ὁ ἐγκαλούμενος καὶ ὁ πρεσβύτερος νικᾷ.

θ´ καὶ ε´. Τὰ ε´ νικῶσιν.
η´ καὶ ε´. Τὰ η´ νικῶσιν.
ζ´ καὶ ε´. Τὰ ε´ νικῶσιν.
στ´ καὶ ε´. Τὰ στ´ νικῶσιν.
ε´ καὶ ε´. Ὁ ἐγκαλῶν καὶ ὁ νεώτερος νικᾷ

θ´ καὶ στ´. Τὰ θ´ νικῶσιν.
η´ καὶ στ´. Τὰ στ´ νικῶσιν.
ζ´ καὶ στ´. Τὰ ζ´ νικῶσιν.
στ´ καὶ στ´. Ὁ ἐγκαλούμενος καὶ ὁ πρεσβύτερος νικᾷ.

θ´ καὶ ζ´. Τὰ ζ´ νικῶσιν.
η´ καὶ ζ´. Τὰ η´ νικῶσιν.
ζ´ καὶ ζ´. Ὁ ἐγκαλῶν καὶ ὁ νεώτερος νικᾷ.

θ´ καὶ η´. Τὰ θ´ νικῶσιν.
η´ καὶ η´. Ὁ ἐγκαλούμενος καὶ ὁ πρεσβύτερος νικᾷ.

θ´ καὶ θ´. Ὁ ἐγκαλῶν καὶ ὁ νεώτερος νικᾷ.

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006